ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἅρπασε μάτηρ
σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει.
Νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνοις
ματρὸς κοιμαθεὶς τὸν βαθὺν ὕπνον ἔχει.

## XXII

ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μέν
νείκεα καὶ χαλεπαὶ πρήξιες, ἐν δὲ δόμοις
φροντίδες, ἐν δ' ἀγροῖς καμάτων ἅλις, ἐν δὲ θαλάσσῃ
τάρβος, ἐπὶ ξείνης δ' ἢν μὲν ἔχῃς τι, δέος,
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις; ζῇσει ἐρημότερος.
τέκνα πόνοι, πήρωσις ἄπαις βίος. αἱ νεότητες
ἄφρονες, αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τοῖν δοιοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ' ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

## XXIII [Asclep. XXXIV G.–P.]

αὐτοὶ τὴν ἁπαλὴν Εἰρήνιον εἶδον Ἔρωτες
Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος οἷά τε λύγδου
γλυπτήν, παρθενίων βριθομένην χαρίτων·
καὶ πολλοὺς τότε χερσὶν ἐπ' ἠιθέοισιν ὀιστούς
τόξου πορφυρέης ἧκαν ἀφ' ἁρπεδόνης.